θήκαις ὁποτεροιοῦν ἠμνημόνησαν καὶ τὴν κοινὴν μεθ' ὅρκου ἀπόφασιν εἰς ὅ,τι ἂν προσθῶσιν ἢ ἀφέλωσιν ἐκ τῆς συμμαχίας. Εἰ δηλονότι ἐβουλεύοντο οἱ Λακεδ. συμμαχίαν ἢ σπονδὰς ἢ πόλεμον πρός τινα ποιήσασθαι, ὤφειλον τοῦτο ἀνακοινῶσαι τοῖς Ἀθηναίοις καὶ ἐνόρκως ἀπὸ κοινοῦ ἀποφασίσαι. Τὸ αὐτὸ δὲ καὶ τοῖς Ἀθηναίοις. Τὸ ὅτου πέρι ἀμνημονοῦσι καὶ τὸ προσθεῖναι καὶ ἀφελεῖν περὶ τῆς συμμαχίας περιέχει, ὡς δοκεῖ ἡμῖν, καὶ τὸ: ἄνευ ἀλλήλων. μηδενὶ σπένδεσθαί τῳ μήτε πολεμεῖν" καὶ τὸ: ἄνευ ἀλλήλων μηδενὶ ξυμβαίνειν. Τὸ Λακεδαιμονίοις συμμάχοις Ἀθηναίων οὖσιν ἔδοξε συμμαχίαν Βοιωτοῖς ποιήσασθαι ἤτοι προσθεῖναί τι ὑπὲρ ἑαυτῶν (ὅ,τι ἂν δοκῇ) εὔορκον ἦν αὐτοῖς ἀνακοινῶναι Ἀθηναίοις καὶ λόγοις δικαίοις χρωμένοις ἀμφοτέροις μεταθεῖναι ταύτῃ ὅπῃ ἂν δοκῇ ἀμφοτέροις. Ἄλλαις λέξεσι πρὸς ὅ,τι εὔλογον καὶ συμφέρον ἀμφοτέροις προσθεῖναι ἢ ἀφελεῖν ἡ συμμαχία αὐτῶν ἀπέβλεπε, τοῦτο ἀπὸ κοινοῦ ὑπεχρεοῦντο μεθ' ὅρκου ποιῆσαι. Ἐπειδὴ δὲ οἱ Λακεδ. συμμαχοῦντες τοῖς Βοιωτοῖς πρὸς τὸ ἴδιον συμφέρον ἀπέβλεπον συνήσθοντο, ὅτι ἀδικοῦσι τοὺς Ἀθηναίους, οὐχὶ μετ' αὐτῶν περὶ τούτου συσκεψάμενοι. Ἰδ. καὶ κεφ. 47, 12 ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πόλεσι ταύταις προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις, ὅ,τι ἂν δόξῃ ταῖς πόλεσιν ἁπάσαις κοινῇ βουλευομέναις, τοῦτο κύριον εἶναι". Αὐτόθι. ἢν δέ τινες ἴωσιν . . . Ὁ Böhme ὀρθῶς ἐξαλείφει τὸν δὲ δυνάμει τοῦ προηγηθέντος: κατὰ τάδε, ἀσυνδέτως ὡς 18, 1 σπονδάς . . . κατὰ τάδε . . κατὰ πόλεις· περὶ μὲν τῶν . . . καὶ 47, 3 κατὰ τάδε ξυμμάχους . . . ἑκατὸν ἔτη· ἢν πολέμιοι . . . Αὐτόθι 2. καταλύειν ἐνν. τὸν πόλεμον. παρβ. 47, 3, 4. Ἀπολύτως φέρεται ἐν 8, 58, 7. Αὐτόθι 4 ὀμοῦνται μέλλ. χρόνου. πρὸς τὰ Διονύσια ἰδ. 20, 1 ἅμα ἦρι ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν" ὑακίνθια ἑορτὴ τοῦ Ἀπόλλωνος ἐν Ἀμύκλαις κατὰ μῆνα ὑακίνθιον, ἀντιστοιχοῦντα πρὸς τὸν Ἀττικὸν Ἑκατομβαιῶνα. Παρβ. Sievers Geschichte Griech. bis Mantinea S. 389.

Κεφ. 24, 2 ὁ πρῶτος πόλεμος, ὁ πρότερος πόλεμος, ὁ δεκαετὴς πόλεμος συνήθεις ἐκφράσεις τοῦ Θουκυδ. καὶ παρὰ τοῖς ῥήτορσιν ὁ Ἀρχιδάμειος πόλεμος. Παρβ. βιβ. 7, 18, 2 καὶ 5, 25, 1 καὶ 26, 3. Κεφ. 25, 1 αἳ ἐγένοντο... Αἱ σπονδαὶ καὶ ἡ συμμαχία ἐγένοντο ἐπὶ ἐφόρου Πλειστόλα

ἐν Σπάρτῃ καὶ ἐπὶ ἄρχοντος Ἀλκαίου ἐν Ἀθήναις (Κεφ. 19, 1). Τούτων ὁ χρόνος πίπτει, τοῦ μὲν ἐν Ἐλαφηβολιῶνι, τοῦ δὲ ἐν Ἀρτεμισίῳ μηνὶ τῆς 89 ὀλ. 3 ἤτοι τοῦ 421 περὶ τὰ μέσα Ἀπριλίου (Παράβ. Curtius Gr. G. 2, 14, 503). Καὶ ὄντως κατὰ τὸν χειμῶνα τοῦ 422 διαπραγματεύσεις ἤγοντο μεταξὺ Σπάρτης καὶ Ἀθηνῶν· τὸ δὲ ἔαρ μετὰ σκόπιμον ἀπειλὴν τῶν Λακεδαιμ. πρὸς τοὺς Ἀθηναίους ἐγένοντο αἱ σπονδαὶ (Παράβ. κεφ. 17, 2 „καὶ τόν τε χειμῶνα τοῦτον ἦσαν ἐς λόγους, καὶ πρὸς τὸ ἔαρ ἤδη . . . ποιοῦνται τὴν ξύμβασιν". Κεφ. 25, 3. „Καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν . . . ἔπειτα μέντοι . . . ἐς πόλεμον φανερὸν κατέστησαν". Ἐπειδὴ ὁ χρόνος τῶν σπονδῶν καὶ τῆς συμμαχίας οὐ συμπίπτει, διότι οὐ πολλῷ ὕστερον τῶν σπονδῶν ἐγένετο ἡ συμμαχία, καὶ ὁ ἐπὶ τῆς προτάσεως „ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι" ἀκριβῶς οὐκ ἔστιν ὡρισμένος, οἱ σχολιασταὶ διαφωνοῦσιν ὡς πρὸς τὸ σημεῖον τῆς εἰς φανερὸν πόλεμον καταστάσεως τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων. Ὁ Grote (ch. 55 Not. zu 5, 23) ἀριθμεῖ τὸν μεταξὺ τῶν σπονδῶν καὶ τῆς συμμαχίας χρόνον εἰς ἕνα μῆνα. Ὁ Curtius (2, 473) παραδέχεται ἐλάττονα τοῦ μηνὸς, ἑβδομάδας. Ὁ Ullrich (Beitr. z. Erkl. S. 153—168) ὑπολαμβάνει τὴν ἀρχὴν τῆς εἰς Σικελίαν ἐκστρατείας τῶν Ἀθηναίων ὡς ἀρχὴν τοῦ δευτέρου πολέμου ἤτοι τοῦ φανεροῦ καταστάντος, καὶ (S. 159) ἀριθμεῖ ἓξ ἔτη καὶ τέσσαρας μῆνας ἀπὸ τῆς συνομολογήσεως τῆς εἰρήνης μέχρι τοῦ ἀπόπλου τοῦ μεγάλου στόλου τῶν Ἀθηναίων εἰς Σικελίαν (ἀπὸ τῆς ἀρχῆς τοῦ ἔαρος τοῦ 421ου μέχρι τοῦ μέσου τοῦ θέρους τοῦ 415). Τὸν Σικελικὸν πόλεμον ἀναγνωρίζει ὡς τὸ σπουδαιότατον μέρος τοῦ ὅλου πολέμου, τὴν δὲ ἐν τῷ μεταξὺ περίοδον τῆς εἰρήνης („καὶ τὴν διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει πόλεμον νομίζειν, οὐκ ὀρθῶς δικαιώσει") (κεφ. 26, 2) ὡς σπουδαῖον γεγονός. Ὁ Böhme ἐννοεῖ τὸ δεύτερον ἥμισυ τοῦ χειμῶνος τοῦ ἑβδόμου καὶ δεκάτου ἔτους τοῦ πολέμου, καθ' ὃ οἱ Λακεδ. διενοοῦντο (βιβλ. 6, 93, 1) εἰσβαλεῖν εἰς τὴν Ἀττικήν, ὡς λύσιν τῆς εἰρήνης, καὶ διατηρεῖ τὴν παραδοθεῖσαν γραφήν. Ἀλλὰ κατὰ τὴν ἐκδοχὴν ταύτην δὲν ἁρμόττει τὸ μὴ . . . στρατεῦσαι. Ὁ Buker καὶ οἱ μετ' αὐτοῦ παραδεχόμενοι τὴν ἐν βιβλ. 6, 105, 2 κατὰ τὸ

θέρος τοῦ 414 μνημονευομένην λεηλασίαν τῶν Ἀθην. παρὰ τὰς ἀκτὰς τῆς Λακωνίας προτείνουσιν ἑπτὰ ἔτη καὶ δύο μῆνας. Εἰς ταύτην τὴν γνώμην προσκρούει τὸ ἑκατέρων (τῆς ἐπιδρομῆς μὴ ἐπ' ἀλλήλων ἐννοουμένης). Ὁ δὲ Krüger διὰ τῆς κατακτήσεως τῆς Δεκελείας (ἐν τῇ ἀρχῇ τοῦ ἔαρος τοῦ 414ου βιβλ. 7, 19, 1) ἐννοῶν τὸ: ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἀναγινώσκει ἑπτὰ ἔτη καὶ τέσσαρας μῆνας. Τὸ δὲ γεγονὸς τοῦτο λαμβάνει ὡσαύτως καὶ ὡς ὅριον τοῦ αὖθις εἰς φανερὸν πόλεμον κατέστησαν (5, 25, 3). Ὁ Classen τὴν εἰς Λακωνίαν εἰσβολὴν τὸ μὴ στρατεῦσαι ἐπὶ τὴν γῆν ἑκατέρων θεωρῶν, καί περ παρ' ἑνὸς τῶν μερῶν γενόμενον, καὶ τοῦ χρόνου τῆς συνομολογήσεως τῆς συμμαχίας μετὰ τὰς σπονδὰς μὴ ὄντος ὡρισμένου, οὐ τολμᾷ παραλλάξαι τὸ κείμενον, καί τοι ἀναγνωρίζων τὴν ἀνάγκην διορθώσεως. Ὁ Schütz διισχυρίζεται, μνημονεύων τὴν ἀποστολὴν τοῦ Γυλίππου (βιβλ. 6, 93, 2) εἰς Σικελίαν, ὅτι τὸ σημεῖον τοῦτο συνᾴδει πληρέστατα πρὸς τὸν παραδοθέντα χρόνον ἐν τῷ κειμένῳ" ἓξ ἔτη καὶ δέκα μῆνας. Ὁ L. Herbst ἔχει γνώμην, ὅτι ὁ Θουκυδ. τὴν διάλυσιν τῆς εἰρήνης ἀνάγει εἰς τὸν χρόνον τῆς τῶν Λακεδ. βουλευομένης ἐκκλησίας (βιβλ. 6, 93). Ὁ Steup τὸ ἀπέχεσθαι . . . στρατεῦσαι ὑπολογίζει μέχρι τῆς ἐν βιβλ. 6, 105 ἀναφερομένης δῃώσεως τῶν Λακωνικῶν ἀκτῶν διὰ 30 ἀττικῶν τριήρων. Ὁ W. Jerusalem τέλος προτείνει, ὅτι ὁ Θουκυδ. διὰ τῆς δὶς μετὰ τόνου μνημονευομένης διακρίσεως τοῦ θέρους τοῦ 421ου ὡς χρόνου τῆς εἰρήνης (5, 35 καὶ 36) δηλοῖ ἡμῖν σαφῶς ὅτι ὡς ἀρχὴ τῆς μὴ φανερᾶς ἔχθρας τῶν ἐτῶν καὶ δέκα μηνῶν οὔτε αἱ σπονδαὶ οὔτε ἡ συμμαχία λαμβάνεται, ἀλλ' αὐτὴ ἡ ἀρχὴ τοῦ ἀμέσως ἑπομένου χειμῶνος 421/20. Ταύτῃ τῇ ἐκδοχῇ συνᾴδει ἡ ἐπιδρομὴ τῶν Ἀθηναίων εἰς τὴν Λακωνίαν ἐν τῷ μέσῳ τοῦ θέρους τοῦ 414ου γενομένη, ἓξ ἔτη καὶ δέκα μῆνας ἀκριβῶς ἔκτοτε ἀριθμοῦσα. Ταῦτα οἱ σχολιασταί.

Παραβάλλοντες τὰ χωρία (Κεφ. 12, 2, ἔτυχεν ἡ μάχη αὕτη γενομένη (ἡ ἐν Ἀμφιπόλει) καὶ τὸ θέρος ἐτελεύτα. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (422 Νοεμ.) ἀπετράποντο ἐπ' οἴκου . . . μάλιστα δὲ ἀπῆλθον (οἱ περὶ τὸν Ῥαμφίαν) εἰδότες τοὺς Λακεδ., ὅτε ἐξῄεσαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας) (καὶ κεφ. 14, 1 ξυνέβη δὲ εὐθὺς μετὰ τὴν ἐν Ἀμφιπόλει μάχην καὶ τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ

Θεσσαλίας ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον, οἱ μὲν Ἀθην. . . . οἱ δὲ Λακεδ. . . . κεφ. 15, 1. *Ταῦτα οὖν ἀμφοτέροις λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις* . . . 3· *σφαλέντων δὲ αὐτῶν ἐπὶ τῷ Δηλίῳ παραχρῆμα οἱ Λακεδ. γνόντες νῦν μᾶλλον ἂν ἐνδεξαμένους ποιοῦνται τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ ἔδει ξυνιόντας καὶ τοῦ πλείονος χρόνου βουλεύεσθαι*) (*καὶ κεφ.* 17, 2*κ προυθυμήθη τὴν ξύμβασιν* (*Πλειστοάναξ*), *καὶ σχετίζοντες αὐτὰ πρὸς τὸ ἐν λόγῳ χωρίον* (*κεφ.* 25, 3) *καὶ πρὸς τὸ βιβλ.* 6 *κεφ.* 105, 2*κ Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους τούτου τοῦ θέρους* (414 *Σεπτ.*) *καὶ Λακεδαιμόνιοι εἰς τὸ Ἄργος ἐσέβαλον αὐτοί τε καὶ οἱ ξύμμαχοι καὶ τῆς γῆς τὴν πολλὴν ἐδῄωσαν· καὶ Ἀθηναῖοι Ἀργείοις τριάκοντα ναυσὶν ἐβοήθησαν, αἵ περ τὰς σπονδὰς φανερώτατα τὰς πρὸς Λακεδ. αὐτοῖς ἔλυσαν.* „*συνάγομεν, ὅτι οἱ Ἀθην. καὶ Λακεδ. ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι εὐθὺς μετὰ τὴν ἐνιαύσιον ἐκεχειρίαν συμβᾶσαν πιθανῶς ὀλίγον βραδύτερον τῆς ἐν Ἀμφιπόλει μάχης κατὰ Ἰανουάρ. τοῦ* 421 *ἀκριβῶς, καὶ ὅτι ἀπὸ τοῦ χρόνου τούτου μέχρι τῆς λύσεως τῶν σπονδῶν καὶ τοῦ αὖθις εἰς φανερὸν πόλεμον καταστῆναι μνημονευομένου ὑπ᾽ αὐτοῦ τοῦ Θουκυδ.* (*ἐν βιβλ.* 6*ῳ* 105, 2) *ταῖς αὐταῖς λέξεσιν καίπερ τὰς σπονδὰς φανερώτατα ἔλυσαν*“ *παρεμπίπτουσιν ἓξ ἔτη καὶ δέκα μῆνες ἀκριβῶς. Διότι εἰ ἐπὶ Πλειστόλα ἐφόρου ἐν Σπάρτῃ καὶ Ἀλκαίου ἄρχοντος ἐν Ἀθήναις συνομολογηθεῖσαι σπονδαὶ ἀνάγονται εἰς τὸ ἔτος* 421 *Ἀπριλ.* 15, *ἡ δὲ ἐν βιβ.* 6, 105, 2 *μνημονευομένη διάλυσις τῶν σπονδῶν εἰς τὸ ἔτος* 414 *κατὰ Σεπτεμ. Ὁ μεταξὺ τῆς ἐκεχειρίας καὶ τῶν σπονδῶν χρόνος ὑπολογίζεται εἰς μῆνας* 3 *καὶ ἡμέρας* 15. *ὥστε* 421 *ἔτ* 3 *μ* 15 *ἡμ.* — 414 *ἔτ.* 9 *μ.* = 6 *ἔτ* 6 *μ.* 15 *ἡμ.* + 3 *μ.* 15 *ἡμ.* = 6 *ἔτη καὶ* 10 *μῆνες, τουτέστιν ὁ πρὸ τῶν σπονδῶν χρόνος τῆς ἐκεχειρίας διήρκεσε μῆνας* 3 *καὶ ἡμέρας* 15, *μέχρις οὗ αἱ σπονδαὶ ἐγένοντο. Καὶ ἀπὸ τούτου τοῦ σημείου τῆς ἐκεχειρίας ἐννοεῖ ὁ Θουκυδ. πιθανῶς τὸ* „*ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι*“. *Τὰ σημεῖα, ἅπερ διακρίνουσι τὰ δύο κύρια μέρη τῶν σχέσεων Λακεδαιμονίων καὶ Ἀθηναίων, ἐχαράχθησαν ἐπὶ τῆς ἐνιαυσίου ἐκεχειρίας καὶ τοῦ αὖθις εἰς φανερὸν πόλεμον κατα-*

στῆναι, τῶν σπονδῶν διαλυθεισῶν. Ἑκάτερον δὲ τούτων ἐμφαντικῶς περιγράφεται ἐν κεφ. 15, 3 *καὶ ἐν βιβ.* 6, 105, 2. *Κεφ.* 26, 2*κ τοῖς τε γὰρ ἔργοις ὡς διήρηται ἀθρείτω καὶ εὑρήσει . . . ἔξω τε . . ἀμφοτέροις ἁμαρτήματα ἐγένοντο*". *Τινὲς τῶν σχολιαστῶν ὡς ὑποκείμ. τοῦ διήρηται ἐδέξαντο αὐτὰ* (*τὰ ἔργα*), *οἱ πλεῖστοι δὲ, ἐν οἷς καὶ* Classen *καὶ* Poppo, *παραλαμβάνουσι τὸ ξύμβασις, ἀλλ' ἀποδιδοῦσι τῷ διήρηται μεταφορικὴν σημασίαν, ἴσῳ τῷ διασχίζειν, διαρρηγνύναι κατὰ τὰ χωρία ἐν βιβ.* 5, 2, 4 *διελὼν τὸ τεῖχος* . . 2, 75, 6 *διελόντες τοῦ τείχους: καὶ* 76, 1 *ἐσέβαλον ἐς τὸ διῃρημένον τεῖχος,* 4, 48, 2 *διελόντες τὴν ὀροφὴν καὶ* 110, 2 *πυλίδα διῄρουν*", *ἐν οἷς περὶ τείχους ἢ ὀροφῆς ἢ πυλῶν τίθεται, τὴν δὲ δοτικὴν τοῖς ἔργοις λαμβάνουσιν ὀργανικὴν* = *διὰ τῶν ἔργων, διὰ τῆς πείρας ἐκ τοῦ βιβλ.* 8, 48, 7 *ὁρμώμενοι „παρ' αὐτῶν τῶν ἔργων . . .*". *Νομίζομεν, ὅτι ἡ δυσκολία ἔγκειται ἐν τῇ λέξει τοῖς ἔργοις. Ἐν κεφ.* 35, 4 *„τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον ὑπώπτευον τοὺς Λακεδαιμονίους . . . καὶ* 9, 10 . . . *καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν . . καὶ* 55, 1 *καὶ γιγνομένων λόγων Εὐφαμήδας ὁ Κορίνθιος οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμολογεῖν „σημαίνει ἡ δοτικὴ τὸ ἀντίθετον τοῦ λόγῳ ἢ λόγοις, τὴν ἐν τοῖς πράγμασιν ἐνυπάρχουσαν ἐνέργειαν, τὴν πρᾶξιν, τὴν ἐκτέλεσιν. Ἐνταῦθα ἵνα ἡ κυρία ἔννοια τοῦ διήρηται εὐοδωθῇ πρὸς τὸ ἀθρείτω* = *ἐπιμελῶς προσέχειν, σκοπεῖν, σκέπτεσθαι καὶ τὸ εὑρήσει, τολμῶμεν ἐννοῆσαι οὐχὶ τὴν ἐκ πείρας διδασκαλίαν, δι' ἧς δύναταί τις παρατηρῆσαι πῶς ἡ σύμβασις διερρήχθη, ἀλλὰ τὴν σύμβασιν αὐτὴν διῃρημένην εἰς τὰς ἰδίας καὶ διακεκριμένας προτάσεις, αἵτινες ἐν τῇ ἐκτελέσει, ἐν τῇ ἐφαρμογῇ οὐκ ἐπραγματώθησαν. Εὔκολον μάλιστα οἴκοθεν νοηθῆναι τὴν πρόθεσιν ἐν* = *ἐν τοῖς ἔργοις, οἷον· Διότι καὶ κατὰ τὴν ἐφαρμογήν, πραγματοποίησιν αὐτῆς* (*τῆς ξυμβάσεως*) *καθ' ὃν τρόπον εἰς ὡρισμένους ὅρους διῃρημένη ἐστὶ τὸν νοῦν τις προσχέτω καὶ εὑρήσει . . . Ἡ σύνδεσις προστακτικῆς καὶ μέλλοντος ὁριστικῆς διὰ τοῦ καὶ καὶ παρὰ τῇ νεωτέρᾳ ἑλλην. γλώσσῃ τῇ καθαρᾷ καὶ τῇ δημώδει λίαν συνήθης τυγχάνει: Πρόσεχε καὶ θὰ εὕρῃς. Ἐλθὲ καὶ δὲν θὰ ἀποτύχῃς. Φάγε καὶ δὲν θὰ μετανοήσῃς: Πρόσεχε καὶ εὑρήσεις. Ἐλθὲ καὶ οὐκ ἀποτυχὼν ἔσει. Φάγε καὶ οὐ*

μεταμεληθήσει. Ἐγένοντο ἁμαρτήματα ἀμφοτέροις = ἀμφότεροι ἐποιήσαντο ἁμαρτήματα = ἥμαρτον (ὁ Σχολιαστὴς), κατὰ τὴν σειρὰν τοῦ λόγου „οὔτε πάντα ἀπέδοσαν οὔτε ἀπεδέξαντο . . . καὶ πρὸς τὸν Μαντινικὸν καὶ Ἐπιδαύριον πόλεμον" ἁρμονικώτερον ἴσως καὶ εὐηχότερον τὸ ἁμαρτήματα ἀποδοτέον τῷ καὶ ἐς ἄλλα, τὸ δὲ ἀμφοτέροις τρεπτέον εἰς ὀνομστ. ἀμφότεροι, τὸ δὲ ἐγένοντο ἀμεταβάτως ὡς κινήσεως σημαντικὸν ἐν τῇ ἐννοίᾳ τοῦ ἀφίκοντο, ἦλθον, κατήντησαν, περιέπεσον (Ἡρόδ. 5, 86. Ξεν. Ἀν. 4, 3, 29. Πλ. Λάχ. 191. 7, 532. 10, 603). Ἀναγνωστέον. Ἀδ' ἴσως . . . ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα οὔτε ἐδέξαντο . . ἔξω τε τούτων πρὸς τὸν Μαντ. καὶ Ἐπιδ. πόλεμον καὶ ἐς ἄλλα ἀμφότεροι ἁμαρτήματα ἐγένοντο": Καὶ ἐκτὸς τούτων (ὅτι οὔτε ἀπέδ. πάντ. οὔτε ἐδέξ.) κατήντησαν ἀμφότεροι πρὸς τὸν Μαντ. καὶ Ἐπιδ. πόλ. καὶ εἰς ἄλλα ἁμαρτ. —

Κεφ. 27, 2 καὶ οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον, Κορίνθιοι δὲ . . . λόγον ποιοῦνται πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων, ὡς χρὴ . . . ἐπειδὴ Λακεδαιμόνιοι . . . πεποίηνται, ὁρᾶν . . . ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας . . . „Ὁ Krüger ἐκλαμβάνει τὸ ἀρχὴν ἐν τῇ σημασίᾳ τῆς δυνάμεως ἢ ἐξουσίας πρὸς τὸ αὐτοκράτορας συνάπτων, ὁ Poppo καὶ ὁ Classen καὶ ἄλλοι ἐπιρρηματικῶς = κατ' ἀρχάς, ἐν πρώτοις, κατὰ πρῶτον ὡσαύτως εἰς τὸ αὐτοκράτορας, στηριζόμενοι ἐπὶ τῶν ἐν τοῖς χωρίοις 2, 74, 3. 4, 98, 1, 6, 4, 5 μμ. καὶ παρ' Ἡροδ. 1, 193. 2, 96. 3, 16 καὶ ἐξηγοῦντες: ἄνδρας πλήρη κατ' ἀρχὰς ἐξουσίαν ἔχοντας. Παραβάλλοντες τὴν σχέσιν τοῦ ἀνωτέρω: πρός τινας τῶν ἐν τέλει ὄντων Ἀργείων „πρὸς τὸ: ὀλίγους ἀρχὴν αὐτοκράτορας" ἑλκυόμεθα τῷ Krüger ὁμονοῆσαι, οὐ μὴν ἀλλὰ μετὰ τοῦ ὀλίγους συνδέοντες: ἄνδρας ὀλίγους ἀρχὴν „τουτέστιν ἀνάγκη ἐστὶν ἀποδεῖξαι, ὀνομάσαι, ἀναγνωρίσαι ἄνδρας ὀλίγους τὴν ἀρχὴν = ἐκ τῶν ἀρχῶν, ἐκ τῶν ἐν τέλει ἀπόλυτον ἐξουσίαν ἔχοντας. Ἐν τοῖς ὑπὸ τοῦ Classen καὶ Poppo προσαχθεῖσι χωρίοις παρατηρεῖται σχέσις τις χρονική, καθ' ἣν τὸ ἀρχὴν κατ' ἀνάγκην χρονικῶς τίθεται. π. χ. βιβλ. 2, 74, 3 οὔτε τὴν ἀρχὴν ἀδίκως . . . οὔτε νῦν" ἡ σχέσις τοῦ παρελθόντος καὶ τοῦ παρόντος: τὴν ἀρχὴν . . νῦν. 4, 98, 1 . . οὐδὲν οὔτε τοῦ λοιποῦ . . . οὐδὲ γὰρ τὴν ἀρχὴν . . „ἡ σχέσις τοῦ μέλλοντος καὶ τοῦ παρελθόντος.

6, 4, 5 *Ζάγκλη δὲ τὴν μὲν ἀρχὴν .. ᾠκίσθη, ὕστερον δὲ .. συγκατενείμαντο „τὸ παρελθὸν καὶ τὸ μετέπειτα ὁρίζεται. Ἐνταῦθα ἐὰν ἐκληφθῇ τὸ ἀρχὴν = κατ' ἀρχάς, ἐννοητέον τὸ ὕστερον, τοῦ λοιποῦ κτλ. ἀποσιωπώμενον ὡς μὴ ἔχον ἔτι ὡρισμένον σημεῖον, οἷον, νῦν μὲν αὐτοκράτορας (πρὸς τὸ παρὸν), εἶτα δὲ ὡς πρότερον, κοινοὺς πολίτας. Ἡ παρασιώπησις αὕτη ὡς οἴκοθεν ἐννοουμένη παρὰ Θουκυδίδῃ φαίνεται, ὅτι καθίστησι τὸν λόγον χαλαρόν. διότι εἰ τοῦτο ἠβούλετο εἰπεῖν, οὐδὲ τοῦ ἀρχὴν χρείαν ἂν εἶχεν, ἅτε τοῦ αὐτοκράτορας οὐ πολιτικὴν ἀρχὴν ὡρισμένην ἐν εἰρήνῃ σημαίνοντος. Ἡ διαστολὴ τοῦ νῦν καὶ διὰ παντὸς γένοιτ' ἄν, εἰ ἐν τῷ διορισμῷ ἀρχῆς αὐτοκράτορός τινος ἐνυπῆρχε φόβος τις παρ' αὐτοῦ. Ὁ Πολύβ. 3, 6 πρέσβεις καλεῖ ἐκείνους, οἵτινες μετὰ τὴν ἐκπλήρωσιν τῆς πρεσβεύσεως μηδεμίαν ἐξουσίαν τοιαύτην ἔχουσιν. Ἐν πολέμῳ καλοῦνται οἱ στρατηγοί, ἔχοντες ἀπόλυτον ἐξουσίαν, ὡς οἱ παρὰ Ῥωμαίοις δικτάτορες. Πολ. αὐτ. καὶ Ἀνδ. 1, 15. Τούτων τοίνυν ἕνεκα συνάπτομεν τὸ ἀρχὴν ἐν τῇ ἐννοίᾳ τοῦ ἐξουσίᾳ, πολιτικῇ ἐπιρροῇ πρὸς τὸ ὀλίγους ἀναφερόμενοι εἰς τὸ προρρηθὲν: τῶν ἐν τέλει = ἄνδρας ὀλίγους τῶν ἐν τέλει περιβεβλημένους ἀπόλυτον πληρεξουσιότητα. Τὸ ἀποδεῖξαι ἐξαρτᾶται ἐκ τοῦ χρὴ ὡς τὸ ὁρᾶν καὶ ψηφίσασθαι, τὸ δὲ ξυμμαχίαν ποιεῖσθαι ἐκ τοῦ ψηφίσασθαι.*

Κεφ. 28, 1 *τούτων δὲ μηδετέροις ἐξεῖναι ἄνευ τοῦ δήμου τοῦ Ἀργείων σπείσασθαι“ Ὁ* Classen *συνδέει τὸ μηδετέροις μετὰ τοῦ σπείσασθαι. Κατὰ ταύτην τὴν ἐκδοχὴν ὁ νοῦς ἔχει οὕτω: οὐκ ἐξέστω δὲ τοῖς δώδεκα σπείσασθαι ἄνευ τοῦ δήμου τοῦ Ἀργείων μηδετέροις τούτων. Ἐν τοιαύτῃ περιπτώσει ἥρμοττεν ἂν μᾶλλον ἡ δοτικ. τούτοις ἀντὶ γενικῆς ὡς: τούτοις δὲ (τοῖς δώδεκα) μηδετέροις αὐτῶν . . . Φρονοῦμεν, ὅτι κάλλιον ὁ νοῦς πρὸς τὰ ῥηθέντα συμβιβάζεται, ἐὰν δεξώμεθα τὸ μηδετέροις τούτων ὡς δοτ. τοῦ ἀπροσώπου ἐξεῖναι καὶ ὑποκείμ. τοῦ σπείσασθαι. Τοῦτο δὲ ποριζόμεθα ἐκ τοῦ ἀνωτέρω: πρὸς οὓς τὸν βουλόμενον . . ξυμμ. ποιεῖσθαι πλὴν Ἀθηναίων καὶ Λακεδαιμονίων. Τούτων δὲ μηδετέρους ἐξεῖναι σπείσασθαι πρὸς αὐτοὺς ἄνευ κτλ. Ἄλλαις λέξεσι πάντες οἱ βουλόμενοι Ἕλληνες ἠδύναντο πρὸς τοὺς δώδεκα σπείσασθαι, οἱ Ἀθην. δὲ καὶ*

Λακεδ. εἰ ἐβούλοντο, ἄνευ τῆς συγκαταθέσεως τοῦ δήμου τῶν Ἀργείων οὐκ ἠδύναντο. Παρβ. 27, 2 *τὴν βουλομένην πόλιν τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι „καὶ* 29, 1 *προσεδέχοντο τοὺς ἐθέλοντας τῶν Ἑλλήνων. Ἐντεῦθεν τὸ μηδετέροις (ους) ληπτέον ὑποκείμ. τοῦ σπείσασθαι. Εἰ οἱ Ἀθηναῖοι ἢ οἱ Λακεδ. ἐβούλοντο τοῖς Ἀργείοις σπείσασθαι, ἔδει τὰς προτάσεις πρὸς τὸν δῆμον ὑποβαλεῖν οὐχὶ πρὸς τοὺς δώδεκα. Κεφ.* 31, 6 *Βοιωτοὶ δε καὶ Μεγαρῆς τὸ αὐτὸ λέγοντες (δηλ. τὴν αὐτὴν γνώμην ἔχοντες, οἵαν οἱ Κορίνθιοι καὶ οἱ ἐπὶ Θρᾴκης Χαλκιδῆς) ἡσύχαζον περιορώμενοι [ὑπὸ τῶν Λακεδαιμονίων] καὶ νομίζοντες ... Οἱ νεώτεροι σχολιασταὶ* Dobrée, Poppo, Classen, Müller-Str., Krüger *καὶ ἄλλοι ἐξοβελίζουσι τὴν ἐμπρόθετον γενικ. ὑπὸ τῶν Λακεδ., ὡς προστεθεῖσαν ὑπ' ἀντιγραφέως κακῶς τὸ περιορώμενοι παθητικὸν ἐκλαβόντος = καταφρονούμενοι, καὶ ἐννοοῦσι τὸ περιορ. μέσον = βλέποντες πέριξ μετ' ἀνυπομονησίας, παρατηροῦντες, περιμένοντες ἀνυπομόνως: σχειίζοντες αὐτὸ πρὸς τὰ χωρία* 4, 71, 1. 6, 93, 1 *μέλλοντες δ' ἔτι καὶ περιορώμενοι.* 103, 2 *τὰ δ' ἐπιτήδεια τῇ στρατιᾷ ἐσήγετο ἐκ τῆς Ἰταλίας πανταχόθεν. Ἦλθον δὲ καὶ τῶν Σικελῶν πολλοὶ ξύμμαχοι τοῖς Ἀθηναίοις, οἳ πρότερον περιεωρῶντο .. „Εὑρίσκεται δ' ἔτι ὁ αὐτὸς τύπος καὶ ἐν βιβ.* 7, 33, 2 *οἱ πρότερον περιορώμενοι.* 4, 73, 1 *καὶ τοὺς Μεγαρῆς ἐπιστάμενοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται. Καὶ γενικῇ* 4, 104, 4 *Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος .. „καὶ* 71, 1 *ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιιδεῖν". Ἐν πᾶσι τούτοις τοῖς χωρίοις τὸ περιορᾶσθαι καθαρῶς μέσον ἐστί, δηλοῦν τὸ μετ' ἐνδιαφέροντος καὶ πρὸς ἰδίαν ὠφέλειαν ὁρᾶν. Ἐκ ταύτης δὲ τῆς σημασίας γεννᾶται τὸ καραδοκεῖν, βραδύνειν, περιμένειν, μέλλειν, πρὸς ὃ μᾶλλον πλησιάζει ὡς* 6, 93, 1 *μέλλοντες καὶ περιορώμενοι. Τὸ δέ: τὸ μέλλον περιιδεῖν ἐνεργητικὸν ὂν διατηρεῖ τὴν πρώτην αὐτοῦ σημασίαν, ὑπερισχύοντος τοῦ ῥήματος τῆς προθέσεως περί. Ἐν τῇ δευτέρᾳ σημασίᾳ τοῦ παραβλέπειν, καταφρονεῖν ἀπαντᾷ ἐν κεφ.* 29, 5. *Ἀλλὰ γενικῇ συντασσόμενον μεταπίπτει εἰς τὴν ἔννοιαν τοῦ ἀποβλέπειν εἴς τι, κήδεσθαι, φροντίζειν ὡς* 4, 125, 4 *Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος, καὶ* 73, 1 *καὶ τοὺς Μεγαρῆς ἐπιστάμενοι πιριορωμένους,*

ὁποτέρων ἡ νίκη ἔσται. Ἡ σημασία τοῦ κήδεσθαι προῆλθεν ἐκ τοῦ ὁρᾶν τινα τὰ πέριξ μετ' ἐνδιαφέροντος. Αὕτη ἡ ἐκδοχὴ οὐ φαίνεταί μοι καὶ τῷ ἐν λόγῳ χωρίῳ ἀνάρμοστος, ἐὰν τὴν μὲν ὑπὸ ἐξαφανίσωμεν, τὴν δὲ γεν. Λακεδαιμονίων πρὸς τὸ περιορώμενοι συνάψωμεν: Βοιωτοὶ δὲ καὶ Μεγαρῆς τὸ αὐτὸ λέγοντες ἡσύχαζον περιορώμενοι (τῶν) Λακεδαιμονίων = ἡσυχίαν ἦγον, οὐ προέβαινον εἰς τὰς τῶν Ἀργείων προτάσεις, ἀποβλέποντες πρὸς τοὺς Λακεδαιμ., ἔχοντες ἐστραμμένην τὴν προσοχὴν κτλ. καὶ νομίζοντες, ὅτι τὸ ὀλιγαρχικὸν πολίτευμα αὐτῶν μᾶλλον σύμφορον αὐτοῖς ἦν ἢ τὸ τῶν Ἀργείων δημοκρατικόν.

Κεφ. 32, 1. Δηλίους δὲ κατήγαγον πάλιν ἐς Δῆλον, ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφορὰς καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος". Ὁ σύνδ. τὲ ἐνταῦθα συνδέει τὰ ἀντικείμενα: τὰς ξυμφορὰς καὶ τοῦ θεοῦ χρήσαντος, ἀνομοίως, τὸ μὲν ἀμέσως διὰ τῆς ἀγγελίας, τὸ δὲ ἐμμέσως διὰ τῶν γεγονότων. Δηλαδὴ τὸ ἐνθυμοῦμαι ἐπειδὴ καὶ γενικῇ συντάσσεται Ξεν. Ἀπμ 1, 17 ὅσα μὲν οὖν μὴ φανερὸς ἦν ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι τοὺς δικαστάς· ὅσα δὲ πάντες ᾔδεσαν οὐ θαυμαστὸν, εἰ μὴ τούτων ἐνεθυμήθησαν „ἴσως τὴν γεν. θεοῦ λεπτέον ὡς ἀντικείμ. ἀντὶ αἰτ. θεὸν χρήσαντα, τὴν δὲ μετοχ. χρήσ. ὡς εἰδικήν. Ὁ Classen, ὁ Poppo καὶ ἄλλοι συνδέουσι διὰ τοῦ τε τὰς δύο μετοχ. ἐνθυμούμ. καὶ χρήσ. Ὁ δὲ Poppo πρὸς ἀπόδειξιν τῆς συνδέσεως ταύτης προσάγει τὸ χωρίον βιβλ. 3, 36, 2 ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν καὶ ὅτι οὐκ ἀρχόμενοι ὥσπερ οἱ ἄλλοι ἐποιήσαντο καὶ προσξυνεβάλοντο" ὅπερ ἐλάχιστα συμβάλλεται, πρῶτον διότι ὁ ἐκεῖ σύνδ. καὶ μὴ ὑπάρχων ἐν τοῖς χειρογράφοις προσετέθη ὑπὸ τῶν σχολιαστῶν, ἵνα συνδέσωσι τὴν διὰ τοῦ ὅτι οὐκ ἀρχόμενοι ἔννοιαν μετὰ τοῦ τέ, ὅπερ φρονοῦμεν ἄτοπον εἶναι· διότι ἡ ἄνευ καὶ φερομένη πρότασις νομίζομεν, ὅτι ἐπεξήγησις τοῦ ἄλλην ἀποστασίαν ἐστὶ, ὁ δὲ διὰ τοῦ: καὶ προσξυνεβάλοντο (ετο) ἐκφερόμενος νοῦς δοκεῖ μοι τὸ δεύτερον ἀντικείμενον τοῦ ἐπικαλοῦντες εἶναι, ἐξενεχθὲν παρεμφατικῶς, ὡσεὶ ἦν: τήν τε ἄλλην ἀπόστασιν ἐπικαλ. ὅτι δηλ. κτλ. καὶ τὸ προσξυμβαλέσθαι οὐκ ἐλάχιστον τῆς ὁρμῆς τὰς Πελοποννησίων ναῦς εἰς Ἰωνίαν ἐκείνοις βοηθοὺς τολμησάσας παρακινδυ-

νεῦσαι. Δεύτερον εἰ σχέσιν πρὸς τὸ ἡμέτερον χωρίον εἶχεν, εἴη ἂν καὶ μετοχῇ συγχωνευθῆναι, οἷον· ἐπικαλ. τ. τε ἄλλ. ἀπόστ. καὶ (αὐτῶν) οὐκ ἀρχομένων ὥσπερ τῶν ἄλλων ποιησαμένων" ὅπερ οὐκ εὔηχον καὶ χάριεν ἐν γενικῇ ἀπολύτῳ δύο μετοχὰς παρενθετικῶς μηδετέρας τὸ ὑποκείμενον δηλούσης τίθεσθαι. Ἐν τῷ προκειμένῳ χωρίῳ καὶ ἄν μὴ τὸ μέν: τοῦ θεοῦ ὡς ἀντικείμ. τοῦ ἐνθυμούμ. ληφθῇ, τὸ δὲ χρήσαντος ὡς κατηγορούμ. ὡς ἡ φύσις τοῦ ῥήμ. ἐνθυμοῦμαι ἀπαιτεῖ: ἐνθυμοῦμαί τι καί τινος ἢ ὅτι μεθ' ὁριστ. ἢ εἰδικοῦ ἀπαρεμ. ἢ μετοχῆς, ὡσαύτως ἀκούω τινὰ καί τινος λέγοντος ἢ λέγοντα, ἡ γενικὴ ἀπόλυτος κατ' οὐδὲν τῆς συντάξεως ταύτης καὶ ἐννοίας διαφέρει. Αὐτόθι 4. *ὡς δὲ οὐδὲν ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι μέχρι τούτου προθύμως πράσσοντες ἀνεῖσαν .." μέχρι τούτου* (ἴδ. κεφ. 27, 2) δηλ. τοῦ χρόνου, μέχρι τοῦδε, μέχρι τούτου τοῦ σημείου τῶν ἐνεργειῶν. Αὐτόθι 5. *τάς τε δεχημέρους ἐπισπονδάς . . . ἐκέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε καὶ σφίσι ποιῆσαι, ὥσπερ Βοιωτοὶ εἶχον".* Ὁ Stahl, ὁ Poppo καὶ ἄλλοι ἐξοβελίζουσι τὸ *ὥσπερ Βοιωτοὶ εἶχον* ὡς παρέλκον, ὡς περιττόν. Ὁ Classen διατηρεῖ αὐτὸ ὑποτιθέμενος, ὅτι ἀναφέρεται εἰς τοὺς μὴ διεξαχθέντας ὅρους. Νομίζομεν, ὅτι ὁ ὁμοιωματικὸς οὗτος προσδιορισμὸς ἀναφέρεται εἰς αὐτὰς τὰς σπονδάς, ἃς οἱ Κορίνθιοι τῇ συνεργείᾳ τῶν Βοιωτῶν πρὸς τοὺς Ἀθηναίους ἐζήτουν ποιήσασθαι, δηλονότι τοιαύτας, οἵας αὐτοὶ εἶχον, ἀπαραλλάκτους, δεχημέρους.

Κεφ. 34, 1. *Καὶ τοῦ αὐτοῦ θέρους, ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ Θρᾴκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ Κλεαρίδας . . . ἐκόμισε.* Τὰ χειρόγραφα οὐ φέρουσι *μετὰ Βρασίδου*. Ὁ Krüger, Poppo καὶ Classen θεωροῦσι τὴν προσθήκην ταύτην ἀναγκαίαν πρὸς ἐξήγησιν τοῦ ἐξελθόντων μετὰ τὸ ἡκόντων. Νομίζομεν ὅτι καὶ ταύτης μὴ οὔσης ἡ αὐτὴ ἔννοια ἐξέρχεται: Καὶ τὸ αὐτὸ θέρος, ὅτε ἤδη ἦλθον εἰς τὴν Λακεδ. οἱ ἀπὸ τῆς Θρᾴκης ὁρμηθέντες, ἐκκινήσαντες, οὐχὶ ἐκστρατεύσαντες, στρατιῶται, οἳ δηλ. μετὰ Βρασίδου ἐξεστράτευσαν . . Τὰ χωρία βιβ. 4, 78, 1 *Βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους πορευόμενος . . . εἰς τὰ ἐπὶ Θρᾴκης . . καὶ* 80, 5 . . *τοὺς*

δ' ἄλλους ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγε . ." *μαρτυροῦσι μὲν τὴν ἔξοδον τῶν στρατιωτῶν μετὰ Βρασίδου, οὐχὶ ὅμως καὶ τὴν ἐπάνοδον διακριτικῶς, δηλ. αὐτῶν τῶν στρατιωτῶν τῶν μετὰ Βρασίδου εἰς Θρᾴκην πορευθέντων καὶ οὐχὶ ἑτέρων ἐκεῖ διατριβόντων, ὡσεὶ καὶ ἕτερός τις πλὴν Βρασίδου στρατηγὸς εἰς τὰ ἐπὶ Θρᾴκης ἐξῆλθεν. Ἕνεκα τῆς διὰ τῆς προσθήκης ταύτης παραγομένης διαστολῆς φρονοῦμεν, ὅτι τὸ μὲν ἡκόντων σημαίνει ἁπλῶς ἀφικομένων, φθασάντων, τὸ δὲ ἐξελθόντων ἴσον τῷ ἐκκινησάντων, ὅπερ ἡ ἀρχὴ φυσικῶς τοῦ ἀφικέσθαι, τοῦ ἵκειν ἐστί. Τὸν δισχυρισμὸν ἡμῶν τοῦτον ἐνισχύει καὶ τὸ χωρίον* 35, 5 *καὶ τοὺς ἐπὶ Θρᾴκης στρατιώτας ἀπαγαγεῖν (ἔφασαν οἱ Λακεδ.), τοὺς ἐπὶ Θρᾴκης εὑρισκομένους στρατιώτας, οἵτινες ἔμελλον αὐτὴν καταλιπεῖν, ἐξελθεῖν ἐξ αὐτῆς.*

Κεφ. 35, 6. *Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, Μεσσηνίους τε καὶ τοὺς εἵλωτας ἐξαγαγεῖν, ὥσπερ καὶ αὐτοὶ ἀπὸ Θρᾴκης". Πολλαὶ ἐκδόσεις ἀντὶ τοῦ τὲ φέρουσι γέ. Ὁ* Classen *καὶ ὁ* Poppo *προτιμῶσι τὸ τὲ ὡς ὁμοίας περιπτώσεις συνδέον. Οἱ Μεσσήνιοι δηλ. ἐκ Ναυπάκτου καὶ οἱ αὐτομολήσαντες Εἵλωτες πρὸς τὸν αὐτὸν σκοπὸν εἰσῆλθον εἰς Πύλον. Παρβ.* 4, 41, 2. *Ἀλλ' ἡμεῖς παραδεχόμεθα τὴν ἐκδοχὴν τῶν πρώτων διὰ τοῦ γὲ στηριζόμενοι ἐπὶ τῆς συνήθους χρήσεως τοῦ γὲ ἐν τῇ ἐλαττωτικῇ σημασίᾳ ἐν τοιαύταις ἐκφράσεσιν, οἷον οἱ Λακεδαιμόνιοι ἀπήτουν παρὰ τῶν Ἀθηναίων ἀποδοῦναι αὐτοῖς τὴν Πύλον, εἰ δὲ μὴ (ἀπεδίδοσαν), ἀπῄτουν τοὐλάχιστον τοὺς Μεσσηνίους καὶ τοὺς εἵλωτας ἐξαγαγεῖν αὐτῆς . . Ὁ λαὸς λέγει: ζητῶ σε δοῦναί μοι πρὸς τροφὴν κρέας, εἰ δὲ μή, τοὐλάχιστον ἄρτον. Δός μοι δέκα δραχμάς, εἰ δὲ μὴ τοὐλάχιστον μίαν. Σῶσόν με, εἰ δύνασαι, εἰ δὲ μή, τοὐλάχιστον εἰπὲ τοῖς δυναμένοις, μεσολάβησον. Μελέτησον κατ' ἰδίαν τὸ μάθημα, εἰ δὲ μή, τοὐλάχιστον πρόσεχε ἐν τῇ διδασκαλίᾳ.*

Κεφ. 36, 1 *παραινοῦντες ὅτι μάλιστα „τὸ ὅτι πρὸς μείζονα ἐπίτασιν τοῦ μάλιστα. Αὐτόθι* 2. *τὸ μέντοι πάνακτον ἐδέοντο Βοιωτοὺς ὅπως παραδώσουσι Λακεδαιμονίοις . .". Οἱ νεώτεροι σχολιασταὶ ἀρνοῦνται τὴν γνησιότητα τούτου τοῦ χωρίου, διότι οὔτε ἡ αἰτ. Βοιωτοὺς οὔτε τὸ ὅπως βαίνουσι κατὰ τὴν σύνταξιν τοῦ ἐδέοντο. Ὁ Σχολ.*

ἑρμηνεύει ὧδε: ἐδέοντο Βοιωτοὺς οὕτω ποιῆσαι ὅπως παραδώσουσιν . . Ἐντεῦθεν ὁ Stahl *ὑποπτεύει ἐκλιπούσας λέξεις, ὁ* Krüger *προστίθησιν: ἀπητοῦντο, ἐπήγοντο. Ὁ* Herbst *συνηγορεῖ ὑπὲρ τῆς γνησιότητος. Παραβάλλοντες τὰ χωρία* 32, 5 *ἐδέοντο . . γίγνεσθαι καὶ ποιῆσαι „καὶ* 39, 2 . . *ἐδέοντο Πάνακτόν τε καὶ . . παραδοῦναι“ βλέπομεν, ὅτι μετὰ τὸ ἐδέοντο ἀπαρέμφ. φέρεται. Ἴσως τὸ ἀπαρέμφ. τοῦτο ὑπὸ ἑρμηνευτοῦ τινος τοῦ Θουκυδ. μετέπεσεν εἰς τὴν ἀνάλυσιν ὅπως ἀποδώσωσι· τοῦ τύπου δὲ τούτου ἀντὶ τοῦ ἀποδῶσι μὴ κλασικοῦ ὄντος ἕτερός τις διώρθωσεν αὐτὸν εἰς μέλλ. ὁριστ. μὴ προσχὼν εἰς τὴν φύσιν τοῦ ῥήμ. ἐδέοντο. Ὁ δὲ Σχολ. ἵνα συμβιβάσῃ αὐτὸ ἐνόησε τὸ ῥῆμα ποιῆσαι ἢ πρᾶξαι ὡς* 45, 3 *βουλόμενος δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα ἔπρασσε καὶ ὅπως . . ποιήσῃ . . „ἐμμένομεν ἐν ταύτῃ τῇ γνώμῃ, στηριζόμενοι ἐπὶ παραδειγμάτων τῆς νέας ἑλλ. γλώσσης, ἥτις τὰ τελικὰ ἀπαρέμφατα ἀναλύει πάντοτε διὰ τῆς ὑποτακτικῆς καὶ τοῦ νὰ ἢ ἵνα ἢ ὅπως: Ἀπήτουν αὐτοὺς (ἢ παρ' αὐτῶν), ἵνα ἀποτίσωσι τὸ ὀφειλόμενον: ἐζήτουν αὐτούς, ὅπως συσκεφθῶσι κτλ. Δευτέραν δέ τινα ὑπόθεσιν ποιοῦντες διὰ παραδοχῆς ἐκπεσουσῶν λέξεων κρίνομεν μᾶλλον ἁρμόζουσαν τὴν λέξιν ἑ τ ο ί μ ο υ ς παρακολουθουμένην ὑπὸ τοῦ ε ἶ ν α ι, ὅπερ σχεδὸν πάντοτε παρασιωπᾶται: ἐδέοντο Βοιωτοὺς ἑτοίμους (εἶναι) ὅπως . . . ἴδ. καὶ κεφ.* 41, 2 *ἑτοῖμοι εἶναι“. Κεφ.* 39, 3 *εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ μήτε πολεμεῖν“. Ἰδὲ κριτικ. παρατ. κεφ.* 23, 1.

Κεφ. 43, 1. *οἱ ἐν ταῖς Ἀθήναις αὖ βουλόμενοι . . ἐνέκειντο“ τὸ α ὖ ἐν τῇ ἐννοίᾳ τοῦ ἀφ' ἑτέρου. Ἀφ' ἑνὸς μὲν οἱ βουλόμενοι ἐν Σπάρτῃ λῦσαι τὰς σπονδάς, ἀφ' ἑτέρου δὲ οἱ ἐν ταῖς Ἀθήναις (παρβ.* 36, 1) *ἐνέκειντο. Αὐτόθι* 2. *φρονήματι φιλονικῶν ἠναντιοῦτο, ὅτι . . . φ ρ ο ν ή μ α τ ι δοτ. τοῦ προτρεπτικοῦ αἰτίου = ἕνεκα φιλοδοξίας. Κεφ.* 46, 1 . . . *ἐκείνοις δὲ δυστυχοῦσιν ὅτι τάχιστα εὕρημα εἶναι διακινδυνεῦσαι. Τὸ ὅ τ ι μετὰ ὑπερθετ. παρβ.* 36, 1. *ε ὕ ρ η μ α = αἰτία, ἀφορμή, λαβή, ἕρμαιον. Παρβ. Πλ. Φαίδ.* 107. *Συμ.* 217. *Ξεν. Ἀν.* 2, 3, 18.

Κεφ. 47, 2. *Ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ . . μήτε Ἀθηναίους . . τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ“. Αἱ αὐταὶ*

λέξεις καὶ ἡ ἔννοια ἐν κεφ. 18, 4. *Ὁ* Krüger *καὶ ὁ* Stahl *ἐξαλείφουσι τὸν σύνδ. δέ. Ἐπειδὴ δ' ἐν τῷ μνημονευθέντι χωρίῳ καὶ ἐν ἄλλοις ὁμοίοις αὐτῷ* 23, 1 *ἣν δὲ δῃώσαντες οἴχωνται . .* 2 *καταλύειν δὲ . . . ἢν δὲ ἡ δουλεία κτλ. ὁ δὲ χρησιμεύει εἰς ἁπλῆν μετάβασιν ἀπὸ μιᾶς ἐννοίας εἰς ἄλλην, συμφωνοῦμεν τῷ* Classen *διατηροῦντι αὐτόν. Εἰ μετὰ τὸ σπονδὰς ἐποιήσαντο κτλ. ἐτίθετο τὸ κατὰ τάδε, ὡς ἐν* 23, 1, *ὁ δὲ τότε ἦν ἄτοπος. Ἰδὲ κατωτ.* 3 *κατὰ τάδε ξυμμάχους εἶναι Ἀθηναίους καὶ Ἀργείους καὶ Ἠλ. καὶ Μαντ. ἑκατὸν ἔτη· ἢν πολέμιοι ἴωσιν . ." ἰδὲ κεφ.* 23, 1 *κριτικ. Παρατ. Αὐτόθι* 3. *τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατὸν" ἐπαναλαμβάνεται τὸ αὐτὸ κατωτ.* 4 *καὶ* 23, 1, 2 *καὶ* 3 *τὸ ἰσοδύναμον „παντὶ σθένει" ὡς ὅρος προσδιορίζων πάσας τὰς δυνατωτάτας προσπαθείας πρὸς ἀμοιβαίαν βοήθειαν·* 3 *ἢν πολέμιοι ἴωσιν . . . ἢν δὲ δῃώσαντες . . . καταλύειν δὲ μὴ ἐξεῖναι . . ." ὡσαύτως ἐπαναλαμβάνεται κατωτ.* 4 *ὡς ὅροι διακριτικοὶ τῆς συμμαχίας, ὡς καὶ* 23, 1, 2. *Αὐτόθι* 5. *ὅπλα δὲ μὴ ἐᾶν ἔχοντας διιέναι ἐπὶ πολέμῳ διὰ τῆς γῆς τῆς σφετέρας αὐτῶν . . . μηδὲ κατὰ θάλασσαν". Ἐὰν ἔχοντας δηλ. πολεμίους ὅπλα ἔχοντας. ἐπὶ πολέμῳ σημαίνει τὸν σκοπὸν, ἵνα πολεμῶσι. Τὸ δὲ μηδὲ κατὰ θάλασσαν ὁ* Krüger *καὶ ὁ* Steup *ὑποπτεύουσιν ὡς παρεντεθειμένον ἐκ τοῦ χωρίου* 56, 2 *Ἀργεῖοι δ' ἐλθόντες παρ' Ἀθηναίους ἐπεκάλουν ὅτι, γεγραμμένον ἐν ταῖς σπονδαῖς διὰ τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διιέναι, ἐάσειαν κατὰ θάλασσαν παραπλεῦσαι". Νομίζομεν, ὅτι τὸ μηδὲ κατὰ θάλασσαν ἦν ἀπαραίτητον μετὰ τὸ διὰ τῆς γῆς ἐν ταῖς σπονδαῖς μνημονευθῆναι, ὡς τὸ μὲν πρὸς τοὺς ἐν Πελοποννήσῳ οἰκοῦντας συμμ. ἀναφερόμενον, οἵτινες κατὰ ξηρὰν μᾶλλον ἰσχυροὶ ἦσαν, τὸ δὲ πρὸς τοὺς Ἀθηναίους θαλασσοκράτορας τότε νομιζομένους. Ὅτι δὲ ἐν* 56, 2 *τὸ διὰ τῆς γῆς οὐκ ἐμνημονεύθη, ὡς μὴ αὐστηρὸς ὅρος κατὰ* Classen *δηλοῦται ἐκ τοῦ ἀμέσως ἡγουμένου χωρίου: τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι λαθόντες Ἀθηναίους φρουρούς τε τριακοσίους καὶ Ἀγησιππίδαν ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐσέπεμψαν" πρὸς ὃ ἡ προσοχὴ τῶν Ἀργείων ἐστράφη. Κατὰ θάλασσαν οἱ Λακεδ. φρουροὺς ἐς Ἐπίδ. ἐσέπεμψαν λαθόντες τοὺς Ἀθην. Τοῦτο τὸ*

κατὰ θάλασσαν ἠνάγκασε τοὺς Ἀργείους πρὸς Ἀθηναίους ἐλθεῖν καὶ ἐπικαλέσαι, ἐπειδὴ κατ' ἐξοχὴν τοῦτο ἀνῆκε τοῖς Ἀθηναίοις, τὸ δὲ κατὰ γῆν μᾶλλον τοῖς συμμάχοις. Οὐδεμία ἄρα χρεία ἦν αὐτὸ ἐνταῦθα μνημονευθῆναι, ὡς τῶν Ἀργείων παθόντων. Αὐτόθι 6. ἐπὴν ἔλθῃ. ὁ Poppo γράφει ἔλθωσι παρὰ τοὺς κώδικας λαμβάνων τὸ ὑποκείμενον ἐκ τοῦ βοηθοῦσιν, ἐπειδὴ τοῦ βοηθεῖν = βοήθειαν ἐλθεῖν οὐ ποιοῦσι χρῆσιν οἱ κλασικοί. Προτιμῶμεν τὴν ἀρχικὴν γραφὴν ἐπὴν ἔλθῃ διδόντες ὑποκείμ. τὸ βοηθεῖν, ὅπερ διὰ τὴν θέσιν σκοπίμως καὶ ὡς ὑποκείμ. τοῦ ἔλθῃ καὶ ὡς ἀντικείμ. τοῦ ἐπαγγείλασαν ἐτέθη· κατὰ ταὐτὰ = ὁ αὐτὸς ὅρος ἔστω δηλ. ἡ πέμπουσα πόλις παρεχέτω σῖτον. Ὀβολοὺς Αἰγιναίους. κατὰ Classen τὸ νόμισμα τῶν Αἰγινητῶν ἐκυκλοφόρει ἀνὰ πᾶσαν τὴν Ἑλλάδα, καὶ διὰ τοῦτο καὶ ἐν ταῖς διεθνέσι συνθήκαις κατάλληλον ἐθεωρεῖτο. Ἡ Αἰγιναία δραχμή, ἥτις καὶ παχεῖα ἐκαλεῖτο κατὰ Πολυδ. 9, 76 καὶ 86, ἰσοδυνάμει δέκα Ἀθηναϊκοῖς ὀβολοῖς. Αὐτόθι 8. ὀμνύντων προστ. ὡς κατωτέρω 9 ὀμνύντων . . . ἐξορκούντων καὶ 11 καταθέντων καὶ 18, 5, 7 ἀποδόντων καὶ ἀποδιδόντων. Κατὰ ἱερῶν τελείων — ἐπὶ θυσίας ἀρτιμελῶν καὶ ἀκμαζόντων ζῴων. Ἡ ἐπὶ σημ. τὸ ἐπάνω ὡς κατὰ πετρῶν, κατὰ γῆς. Κεφ. 48, 1. Αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία οὕτως ἐγένοντο· καὶ αἱ μὲν . .". Οἱ κώδικες φέρουσιν: αἱ ξυμμαχίαι· πλὴν ὀρθῶς οἱ σχολιασταὶ διορθοῦσιν ἑνικῶς κατὰ 27, 1 ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο καὶ ὕστερον ἡ ξυμμαχία . . καὶ 46, 5 ἐποιήσαντο σπονδὰς καὶ ξυμμαχίαν. Παρβ. καὶ 76, 2 ἐβούλοντο δὲ πρῶτον σπονδὰς ποιήσαντες πρὸς τοὺς Λακεδ. αὖθις ὕστερον καὶ ξυμμαχίαν. 78, 1 . . ὥστε τὴν Μαντινέων καὶ Ἠλείων καὶ τὴν Ἀθηναίων ξυμμαχίαν ἀφέντες Ἀργείους σπονδὰς καὶ ξυμμαχίαν ποιήσασθαι . . 80, 1 Αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο". Ἐν πᾶσι τούτοις τοῖς χωρίοις ἑνικὸς ἀναγράφεται, ἐπειδὴ τὰ συμβαλλόμενα μέρη ἐν τῇ συνθήκῃ εἰς δύο διακρίνονται, οἷς μία κοινὴ συμμαχία γίγνεται. Οἱ Λακεδ. μετὰ τῶν τριῶν πόλεων, Ἄργους, Ἤλιδος καὶ Μαντινίας ποιοῦνται μίαν κοινὴν συμμαχίαν. Ὅτι τὸ ἐγένοντο ἀντὶ ἐγένετο, ὅπερ ὁ Stahl προτιμᾷ στηριζόμενος ἐπὶ τοῦ χωρίου 80, 1, εἶνε ὀρθότερον, δηλοῖ αὐτὸ τὸ ἐπίρρημα οὕτως, οὗ ἄνευ

ἥρμοζεν ἂν τὸ ἐγένετο. Τὸ χωρίον 80, 1 αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο „δεῖται ἑνικοῦ τοῦ δεικτικοῦ αὕτη ἕνεκα. Τὸ δὲ οὕτως δείκνυσι τὰς σχέσεις καὶ τοὺς ὅρους τῶν τε σπονδῶν καὶ τῆς συμμαχίας, οἵτινες περιέχονται εἰς ἑκάτερα τῆς εἰρήνης τὰ ἔγγραφα ἤτοι αἱ σπονδαὶ καὶ ἡ συμμαχία τοιούτους ὅρους περιεῖχον. Ἐπειδὴ ἑκατέρου ἔργου τὰ μέρη θεωροῦνται ἰδιαιτέρως, τὸ ῥῆμα ἐτίθετο ἂν δυϊκῶς, εἰ μὴ ἦν πληθυντ. ὑποκείμ., πληθυντικῶς δὲ, εἰ ὑπάρχει. Ἐνταῦθα ὁ πληθυν. σπονδαὶ λαμβάνεται ὡς τὸ ἐπικρατέστερον, ὅπερ καὶ ἐκ τοῦ ἀμέσως ἑπομένου: καὶ αἱ μὲν τῶν Λακεδαιμ. καὶ Ἀθην. οὐκ ἀπείρηντο" καί: οὐκ ἐσῆλθον εἰς αὐτάς" δηλοῦται, ὡς καὶ Classen καὶ ὁ Steup ὀρθῶς παρατηροῦσι.

Κεφ. 48, 2 Κορίνθιοι δὲ Ἀργείων ὄντες ξύμμαχοι οὐκ ἐσῆλθον εἰς αὐτάς, (ἀλλὰ καὶ γενομένης πρὸ τούτου Ἠλείοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι ξυμμαχίας τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν), ἀρκεῖν δ' ἔφασαν . .". Ὁ Classen κλείει ἐν παρενθέσει τὸ ἀλλὰ καὶ . . . ξυνώμοσαν, παραβάλλων αὐτὴν πρὸς τὴν ἐν 72, 1 ξυνέβη οὖν αὐτῷ ἅτε ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι τόν τε Ἀριστοκλέα καὶ τὸν Ἱπονοΐδαν μὴ θελῆσαι παρελθεῖν, (ἀλλὰ καὶ διὰ τοῦτο τὸ αἰτίαμα ὕστερον φεύγειν ἐκ Σπάρτης δόξαντας μαλακισθῆναι) καὶ . . „καὶ πειρᾶται τὸ ξυνώμοσαν, πρὸς ὃ ὑπερσυντελ. ἰδιότητα δίδωσιν, ὅπως ἀναγάγῃ εἰς τὴν ἐπιμαχίαν τῶν Κορινθίων μετὰ Ἠλείων καὶ Ἀργ. καὶ Μαντ. ἐν προγενεστέρῳ χρόνῳ. Ἐὰν καλῶς παρατηρήσωμεν τὰ χωρία 27, 2 πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν" 29, 1 Μαντινῆς δ' αὐτοῖς καὶ οἱ ξύμμαχοι αὐτῶν πρῶτοι προσεχώρησαν „καὶ 4 . . ὥστε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους καὶ αὐτοὶ ἕκαστοι ξυμμαχίαν ποιεῖσθαι" 30, 5 ἔτυχον δὲ παρόντες ἐν Κορίνθῳ καὶ Ἀργείων πρέσβεις, οἳ ἐκέλευον τοὺς Κορινθίους ἰέναι εἰς τὴν ξυμμαχίαν καὶ μὴ μέλλειν . . . ἦλθε δὲ καὶ Ἠλείων πρεσβεία εὐθὺς καὶ ἐποιήσαντο πρὸς Κορινθίους ξυμμαχίαν πρῶτον, ἔπειτα ἐκεῖθεν ἐς Ἄργος ἐλθόντες, ὡς προείρητο, Ἀργείων ξύμμαχοι ἐγένοντο" 6 . . ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς μετ' ἐκείνους καὶ ἐπὶ Θρᾴκης Χαλκιδῆς Ἀργείων ξύμμαχοι . . . „συνάγομεν, ὅτι οἱ Κορίνθιοι συνεδέοντο μετὰ τῶν Ἀργ., Ἠλ. καὶ Μαντ.

διό τινος συνθήκης ἐπὶ τῷ ὅρῳ τῇ ἀλλήλων ἐπιμαχεῖν. Νῦν δὲ εἰς τὴν νέαν συμμαχίαν τῶν συμμάχων αὐτῶν οἱ Κορίνθιοι οὐ μόνον ἀρνοῦνται εἰσελθεῖν, ἀλλά, ἵνα προφασιζόμενοι ἀποδείξωσιν, ὅτι ἀποφεύγουσι τὸν πόλεμον: τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν" ἔλεγον, ὅτι διὰ τοῦτο καὶ οὐ συνώμοσαν αὐτοῖς ἐν ᾗ προγενεστέρᾳ συμμαχίᾳ αὐτῶν ὡρίζετο τὸ τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, ἀρκούμενοι εἰς τὸ ἀλλήλοις βοηθεῖν καὶ μηδενὶ ξυνεπιστρατεύειν. Ὁ ἀλλὰ καὶ προστίθησι τὴν ὕπαρξιν τῆς πρὸ τούτου συνθήκης, πρὸς ἣν οἱ Κορίνθιοι οὐ ξυνώμοσαν, καὶ φρονοῦμεν, ὅτι οὐ χρῄζει παρενθέσεως, ὁ δὲ σύνδ. δὲ εἰς τὸ: ἀρκεῖν δ' ἔφασαν „ἀντιτίθεται οὐχὶ εἰς τό: οὐκ ἐσῆλθον" ἀλλὰ εἰς τό: οὐ ξυνώμοσαν. Τὸ χωρίον 27, 2 Κορίνθιοι δὲ ἐς Ἄργος τραπόμενοι πρῶτον λόγους ποιοῦνται . . ὅτι χρὴ ὁρᾶν τοὺς Ἀργείους, ὅπως σωθήσεται ἡ Πελοπόννησος καὶ ψηφίσασθαι τὴν βουλομένην πόλιν τῶν Ἑλλήνων . . . πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν . . καὶ τὸ 29, 4 . . ὥστε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους καὶ αὐτοὶ ἕκαστοι ξυμμαχίαν ποιεῖσθαι „παρέχουσι τὸ ἐνδόσιμον ὑποπτεῦσαι, ὅτι ἐν τῷ οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργ. καὶ αὐτοὶ ἕκ. ξυμμ. ποιεῖσθ. „ἐγένετο ἴσως καὶ συμμαχία τις ἐπὶ τῷ τοῖς αὐτοῖς πολεμεῖν καὶ εἰρήνην ἄγειν, ἥτις ἐν τῷ ἐν λόγῳ χωρίῳ: ἀλλὰ καὶ οὐ ξυνώμοσαν" ἐγένετο ἀναγκαῖον μνημονευθῆναι, ἵνα ὁ συγγραφεὺς ἐν τῇ περιπτώσει ταύτῃ τοῦ: οὐκ ἐσῆλθον „καὶ τοῦ ἀπέστησαν τῶν ξυμμάχων" παραστήσῃ τὸ ἀσθενὲς καὶ τὸ παλίμβολον τοῦ χαρακτῆρος τῶν Κορινθίων. Ὁ ἀόρ. ἐσῆλθον καὶ ξυνώμοσαν ἀναφέρονται ἀπολύτως ἀμφότεροι εἴς τι σημεῖον τοῦ παρελθόντος χρόνου, τῆς σχέσεως μὴ ἐξεταζομένης.

Κεφ. 50, 5 *καὶ πολλῶν λόγων γενομένων τέλος οὐδὲν ἐπράχθη, ἀλλὰ . . „τὸ τέλος ἐνταῦθα οὐ σημαίνει τὸ ἄκρον τῶν γενομένων λόγων, ὡς κοινῶς λέγεται: τέλος οὐδὲν κατώρθωσεν ἢ τέλος πάντων οὐδὲν ἐπράχθη, καὶ γερμανιστὶ* am Ende, endlich *ὡς ἐξηγεῖ ὁ* Classen *ἐπιρρημ., ἀλλὰ ἰσοδυναμεῖ τῇ λέξει ἀποτέλεσμα: πολλῶν λόγων γενομένων, τὸ ἀποτέλεσμα ἦν ὅτι οὐδὲν ἐπράχθη. Ὅθεν λαμβάνεται ἐνταῦθα οὐχὶ ἐπιρρημ., ἀλλὰ ἐπιθετ. = ὡς τέλος· ταύτῃ τῇ σημασίᾳ τοῦ τέλος χρῆται συνεχῶς καὶ αὐτὴ τοῦ ἑλλ.*

λαοῦ ἡ γλῶσσα: εἶπον πολλὰ, ἀλλὰ τέλος κανὲν (οὐδὲν) = μηδὲν ἀποτέλεσμα.

Κεφ. 54, 3. *Ἀργεῖοι δ' ἀναχωρησάντων αὐτῶν (ἐνν. τῶν Λακεδ.) τοῦ πρὸ τοῦ Καρνείου μηνὸς ἐξελθόντες τετράδι φθίνοντος, καὶ ἄγοντες τὴν ἡμέραν ταύτην πάντα τὸν χρόνον, ἐσέβαλον ἐς τὴν Ἐπιδαυρίαν καὶ ἐδῄουν „τὰ χειρόγραφα φέρουσι τὸ κόμμα μετὰ τὸ ταύτην, συνδεδεμένου τοῦ: πάντα τὸν χρόνον μετὰ τῶν ἑπομένων.* Ὁ Bekker *διορθῶν δόλον τινὰ τῶν Ἀργείων κατὰ τὴν εἰσβολὴν ἐν τῷ Καρνείῳ μηνὶ, τῇ ἱερομηνίᾳ τῶν Δωρείων, ὃν παραδέχεται καὶ ὁ* Grote, *παρατιθέμενος ὅμοιον τῶν Ἀργείων πρὸς τοὺς Λακεδ. ἐκ τοῦ Ξενοφ. Ἑλλ.* 4, 7, 2, *καὶ ὁ* Madvig *ὡσαύτως ἐκ τοῦ Πλουτ.* 16 *ἕτερον τῶν Ἀργείων περὶ τοῦ μεγ. Ἀλεξάνδρου, μεταφέρει τὸ κόμμα μετὰ τὸ χρόνον.* Ὁ Classen, Poppo *καὶ* Stahl *συμφωνοῦσι τούτῳ καὶ ἀναγνωρίζουσι τὴν τῶν Ἀργείων πονηρίαν.* Ὁ Schütz *καὶ ἄλλοι διατηροῦσι τὴν πρώτην στίξιν. Ἐξετάζοντες μετὰ προσοχῆς τὰ ἀμέσως ἀνωτέρω χωρία* 1, 2 *καὶ* 3, *ἐν οἷς βλέπομεν, ὅτι ἡ στρατεία τῶν Λακεδ. οὐδενὶ γνωστὴ ἦν, οὐδὲ ταῖς Λακωνικαῖς πόλεσι, καὶ ὅτι κατὰ τὴν πρὸς τὰ Λεῦκτρα ἄγουσαν θυσίας γενομένης τὰ ἱερὰ δυσμενῆ ἦσαν καὶ τούτου ἕνεκα αὐτοὶ μὲν οἱ Λακεδ. ἐπανῆλθον οἴκαδε, τοῖς δὲ συμμάχοις παρήγγειλαν παρασκευάζεσθαι, ἵνα μετὰ τὴν ἱερομηνίαν (μετὰ τὸ τέλος ὅλον τοῦ μηνὸς Καρνείου) ἐκστρατεύσωσι, καὶ ὅτι οἱ Ἀργεῖοι, ἐπεὶ αὐτοὶ οἴκαδε ἀνεχώρησαν, ἐξεστράτευσαν τὴν τετάρτην ἡμέραν τοῦ φθίνοντος ἤτοι τέσσαρας πρὸ τῆς ἀρχῆς τοῦ Καρνείου, μεθ' ὅλα ταῦτα πορίζόμεθα, ὅτι οἱ Ἀργεῖοι ἐξεστράτευσαν μετὰ τὴν τῶν Λακεδ. ἀναχώρησιν τέσσαρας ἡμέρας πρὸ τῆς ἀρχῆς τῆς ἱερομηνίας. ταύτην δὲ τὴν ἡμέραν διήγαγον ὁλόκληρον πάντα τὸν χρόνον ἀπρακτοῦντες, τὴν δ' ἐπομένην, τὴν τρίτην πρὸ τῆς ἀρχῆς τοῦ Καρνείου, εἰσέβαλον καὶ ἐδῄουν τὴν Ἐπιδαυρίαν. Ἡ ἀπραξία τῶν Ἀργείων κατὰ ταύτην τὴν ἡμέραν ἐμφαίνει φόβον τινὰ παρὰ τῶν Λακεδ., μὴ οὗτοι μαθόντες αὐτοὺς πρὸς τὴν Ἐπιδαυρίαν πορευομένους ἐπανέλθωσι πρὸς πόλεμον. Ἴσως δὲ καὶ ἐκ πείρας ἐγίνωσκον τὴν ἄκραν δεισιδαιμονίαν τῶν Λακεδ. Τὰ ἀνωτέρω χωρία* 53, 10 *παρεσκευάζοντο οὖν οἱ Ἀργεῖοι ὡς αὐτοὶ ἐς τὴν Ἐπιδαυρίαν διὰ τοῦ θύματος τὴν ἔσπραξιν*

ἐσβαλοῦντες, καὶ 54, 1 ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμ. . . ἐς Λεῦκτρα „δηλοῦσι τὸν σκοπὸν τῆς εἰσβολῆς τῶν Ἀργείων, ὃν ἐξετέλεσαν μετὰ τὴν ἕνεκα οὐ καλῶν τῶν ἱερῶν καὶ τῆς ἱερομηνίας ἀναχώρησιν τῶν Λακεδ. Εἰ ἐκαιροφυλάκουν οἱ Ἀργεῖοι τὴν ἑορ τὴν τοῦ Καρνείου, ἵνα ἀκωλύτως εἰσβάλωσιν, ἐκ τῶν ἐνόντων λέξεων τοῦ κειμένου οὐχ ὑποδηλοῦνται, ὡς παρὰ Ξεν. Ἑλλ. 4, 2, 3 ἡ ὑπόνοια τῶν Λακεδ. πρὸς τοὺς Ἀργείους διὰ τῶν μαντείων ἐπισημηνάντων ἐνεργεῖται: μὴ δεχομένῳ σπονδὰς ἀδίκως φερομένας". Ἡ παρανόησις τῆς ἐννοίας τοῦ χωρίου κεῖται, νομίζομεν, ἐν τῇ λέξει φθίνοντος, ἥτις δηλοῖ οὐχὶ τὸν φθίνοντα Κάρνειον μῆνα, ἀλλὰ τὸν πρὸ αὐτοῦ.

Ἡ δευτέρα ἐκδοχὴ τοῦ χωρίου ἡ ἐκ τῆς θέσεως τοῦ κόμματος πρὸ τοῦ: πάντα τὸν χρόνον, ὅπερ μετὰ τοῦ ἐσέβαλον συνάπτεται δύναται εὐοδωθῆναι, ἐὰν δεξώμεθα τὴν μὲν μετάθεσιν τοῦ κόμματος μετὰ τὸ ἄγοντες, τὸ δὲ ἐσέβαλον ὡς παρατ. ἐσέβαλλον κατὰ τὸ Βατικ. χειρόγραφον, οἷον· ἐκστρατεύσαντες καὶ πορευόμενοι πρὸς τὴν Ἐπιδαυρίαν, τὴν ἡμέραν ταύτην (τὴν 26μ) καθ' ὅλον τὸν χρόνον (ὁλόκληρον) εἰσβολὰς καὶ δηώσεις ἐποίουν. Τὸ ἄγοντες ληπτέον ἐν τῇ ἐννοίᾳ τοῦ ὁδὸν ἄγοντες καὶ οὐχὶ σχολήν. Ἡ δημώδης ἑλλ. γλῶσσα ἔχει ταύτην τὴν ἔκφρασιν, ὅταν διηγῆται εἰςβολήν τινα ληστῶν εἴς τινα πόλιν οὕτω: σήμερον ἐβγῆκαν (ἐξῆλθον) καὶ τραβοῦντες (ἄγοντες) αὐτὴν τὴν ἡμέραν γιὰ πάντα (διὰ παντὸς τοῦ χρόνου) ἐμβῆκαν (εἰσέβαλλον) εἰς τὴν πόλιν καὶ τὴν ἔβλαπτον.

Κεφ. 56, 2 ἴδε . . κεφ. 47, 5.

Κεφ. 75, 1 εἰ μὴ προκαταλήψονται". Ἔνια χειρόγραφα φέρουσι καταλήψονται, ἣν γραφὴν ὁ Herbst διατηρεῖ. Ὁ Classen καὶ ὁ Poppo παραβάλλοντες πρὸς τὰ χωρία βιβ. 3, 2, 3 καὶ εἰ μή τις προκαταλήψεται . . καὶ 3, 1 δείσαντες προκαταλαβεῖν ἐβούλοντο . . καὶ 46, 6 . . ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυλάσσειν καὶ προκαταλαμβάνειν . . „ἀναγινώσκουσι: προκαταλήψονται. Συμφωνοῦμεν τούτοις, παρατηροῦντες ὅτι ἡ εἰκὼν αὕτη ἔχει ὁμοίως τῇ ἐν κεφ. 30, 1 Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸν θροῦν τοῦτον ἐν τῇ Πελοποννήσῳ καὶ . . . πέμπουσι πρέσβεις . . . βουλόμενοι προκαταλαβεῖν τὸ μέλλον".

Κεφ. 58, 1. Ἀργεῖοι δὲ προαισθόμενοι τότε πρῶτον

τὴν παρασκευὴν τῶν Λακεδ., καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα βουλόμενοι τοῖς ἄλλοις προσμίξαι ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί". Μεγάλη ἀμφισβήτησις ἠγέρθη μεταξὺ τῶν νεωτέρων ἐκδοτῶν καὶ σχολιαστῶν περὶ τῆς ἑρμηνείας τοῦ χωρίου τούτου. Πρῶτος ὁ Heilmann *παρατηρήσας παρεδέξατο τὴν γραφὴν τοῦ τότε πρῶτον κεχωρισμένην τότε πρ., συνδέσας τὸ μόριον τὲ μετὰ τοῦ ἑπομένου καὶ ἐπειδὴ ... ἐχώρουν" παρεισάγων ὅμως ἐν τῃ ἑρμηνείᾳ τὸ: τοῦτ' αἰσθόμενοι. Τούτῳ ἠκολούθησαν πάντες οἱ μετ' αὐτὸν πλὴν τῶν* Bipontiner, *ἐμμεινάντων τῇ γραφῇ τότε. Ὁ* Heilmann *ἐξηγεῖ ὡς ἑξῆς: Οἱ Ἀργεῖοι, οἵτινες τὴν προπαρασκευὴν τῶν Λακεδαιμ. ἐν μέρει ἐν τῇ ἀρχῇ ἤδη ἔμαθον, ἐν μέρει νῦν, ὅτε αὐτοὶ εἰς τὸν Φλιοῦντα ἐχώρουν, ἵνα μετὰ τῶν ἄλλων ἑνωθῶσιν ἐκ νέου τοῦτο παρετήρησαν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί". Ὁ* Classen *ἀπορρίπτει τὴν ἑρμηνείαν ταύτην προσάγων τὸ ἄτοπον τοῦ τότε δὴ διὰ τοῦ χωρίου βιβ.* 1, 131, 1 *οἱ δὲ Λακεδ. αἰσθόμενοι τό τε πρῶτον ... καὶ ἐπειδή ... οὕτω δὴ οὐκ ἔτι ἐπέσχον". Ὁ* Poppo *προσάγει τὴν ἐξήγησιν τοῦ Σχολιαστοῦ ἔχουσαν οὕτω: Ἀργεῖοι προαισθόμενοι τήν τε πρώτην τῶν Λακεδ. παρασκευὴν καὶ αὖθις προσχωροῦντας τοὺς Λακεδ. ἐπὶ Φλιοῦντος ὑπὲρ τοῦ τοῖς ἰδίοις συμμίξαι συμμάχοις", ἣν ὁ* Classen *οὐκ ἀποδέχεται, ἀπορρίπτων καὶ τὸ αὖθις καὶ τὸ προσχωροῦντας. Ὁ* Göller, Haack, Krüger *καὶ* Böhme *παραδεχόμενοι τὴν γραφὴν τό τε .. οὐδὲν λέγουσιν. ὁ γάλλος* Bétan *ἑρμηνεύει ὧδε: οἱ Ἀργεῖοι προαισθόμενοι κατ' ἀρχὰς τὴν παρασκευὴν τῶν Λακεδ., ἔπειτα τὴν πρὸς τὸν Φλιοῦντα πορείαν, ἵνα ἑνωθῶσι τοῖς συμμάχοις, ἐξεστράτευσαν καὶ αὐτοὶ „ὁ* Didot *ὡς ἑξῆς: Οἱ Ἀργεῖοι ἔμαθον κατ' ἀρχὰς τὴν παρασκ. τῶν Λακεδ. καὶ ὅτε εἶδον αὐτοὺς χωροῦντας πρὸς τὸν Φλιοῦντα, ἵνα ἑνωθῶσι τοῖς ἄλλοις συμμάχοις, τότε ἐξεστράτευσαν καὶ αὐτοί". Ὁ* Buker *ὧδε: Οἱ Ἀργεῖοι δὲ προαισθόμ. τότε πρῶτον τὴν τῶν Λακεδ. παρασκευὴν, καὶ ἔπειτα ἐπειδὴ οἱ Λακεδ. πρὸς τὸν Φλιοῦντ. ἐχώρουν, ἵνα ἐν .., τότε δὴ καὶ αὐτοὶ ἐξεστρ. „Τὸ πολλῆς συζητήσεως καὶ ἀμφισβητήσεως ἀξιωθὲν παρὸν χωρίον νομίζομεν, ὅτι εὐκόλως τῆς δυσκολίας ἀπαλλάσσεται, ἐὰν μὴ συγχέωμεν αὐτὸ πρὸς τὸ ἐν βιβ.* 1, 131, 1 *οἱ δὲ Λακεδ. αἰσθόμενοι τότε πρῶτον δι' αὐτὰ ταῖτα ἀνεκάλεσαν*

αὐτὸν, καὶ ἐπειδὴ . . . τὸ δεύτερον ἐκπλεύσας . . τοιαῦτα ἐφαίνετο ποιῶν, καὶ . . . οὕτω δὴ οὐκέτι ἐπέσχον“, ἔνθα ὁ τὲ συνδέει τὸ πρῶτον μετὰ τοῦ ἑπομένου: καὶ ἐπειδὴ . . τὸ δεύτερον . ., ὅπερ ἀνταποκρίνεται πρὸς τὸ πρῶτον, ὃ οὐχὶ πρὸς τὸ αἰσθόμενοι συνάπτεται, ὡς δοκεῖ ἡμῖν, ἀλλὰ πρὸς τὸ ἀνεκάλεσαν. Δηλονότι οἱ Λακεδ. αἰσθόμενοι ἀνεκάλεσαν αὐτὸν καὶ τὸ πρῶτον (πρώτην φορὰν) ἕνεκα αὐτῶν τούτων, καὶ τὸ δεύτερον (δευτέραν φορὰν), ἐπειδὴ . . ἐφαίνετο τοιαῦτα ποιῶν καὶ . . . οὕτω δὴ εἰς τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἀλλὰ . . οὐκέτι ἐπέσχον δηλ. οὐκ ἀνεκάλεσαν αὐτὸν, ἀλλὰ μὴ ὑπομείναντες τὴν προδοσίαν ἔπεμψαν . . . Τὸ μὲν πρῶτον μαθόντες τὴν διαγωγὴν αὐτοῦ οἱ Λακεδ. ἀνεκάλεσαν αὐτὸν οἴκαδε, τὸ δὲ δεύτερον τὰ αὐτὰ ποιοῦντα αὐτὸν καὶ πιεσθέντα ὑπὸ τῶν ἐν Βυζαντίῳ Ἀθηναίων καὶ εἰς Κολωνὰς καταφυγόντα πρὸς τὸν αὐτὸν αὐτοῦ σκοπὸν, τότε οὐκ ἀνεκάλεσαν, ἀλλὰ μηκέτι ἐπισχόντες ἔπεμψαν . . Αὕτη, νομίζομεν, ἡ ἔννοια τοῦ χωρίου τούτου, ἥτις οὐδεμίαν συντακτικὴν σχέσιν πρὸς τὸ ἐν λόγῳ ἔχει· διότι ἐν αὐτῷ οὔτε τὸ ἀνταποδοτικὸν δεύτερον ὑπάρχει, οὔτε τὸ ῥῆμα, πρὸς ὃ τὸ πρῶτον ἀποδοτέον. Παραδεχόμενοι τὴν ἀρχικὴν γραφὴν τότε καὶ τὸν καὶ τοῦ ἐπειδὴ διατηροῦντες ἐσμὲν γνώμης, ὅτι τὸ μὲν τότε πρῶτον ἐξαίρει τὴν ἔννοιαν τοῦ ἀντικειμ. παρασκευὴν καὶ ἐμποιεῖ ἔκπληξιν καὶ θαυμασμὸν εἰς τὴν προαἴσθησιν τῶν Ἀργείων διὰ τὴν παρασκευὴν τῶν Λακεδ. ὁ δὲ καὶ συνδέων τὰς δύο δευτερευούσας προτάσεις, ὧν ἡ μὲν μετοχικῶς, ἡ δὲ ἀναλελυμένη αἰτιολογικῶς, προστίθησι νέον τι τῷ ὅλῳ. Ἐξηγοῦμεν δὲ ὧδε: οἱ Ἀργεῖοι δὲ ἐπειδὴ προῄσθοντο τότε πρῶτον (τότε πρώτην φοράν, οὐχὶ ἄλλοτε ἐν τῷ παρελθόντι) τὴν (μεγάλην, σπουδαίαν) παρασκευὴν τῶν Λακεδ., καὶ μάλιστα διὰ τοῦτο, ἐπειδὴ αὐτοὶ εἰς τὸν Φλιοῦντα ἐχώρουν, βουλόμενοι τοῖς ἄλλοις προσμῖξαι, τότε δὴ (ἑπομένως) καὶ αὐτοὶ ἐξεστράτευσαν. Κατὰ ταύτην τὴν ἐκδοχὴν εἶχον ἂν αἱ προτάσεις οὕτω: Ἀργεῖοι δὲ προαισθόμενοι τότε πρῶτον τὴν παρασκευὴν τῶν Λακεδαιμ. καὶ αὐτῶν ἐς τὸν Φλιοῦντα βουλομένων τοῖς ἄλλοις προσμῖξαι χωρούντων, τότε δὴ κτλ. ἢ Ἀργεῖοι δὲ ἐπεὶ προῄσθοντο . . . καὶ ἐπειδή . . .

προσμῖξαι = ἑνωθῆναι. Παρβ. 3, 106, 3 προσέμιξαν

τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις. 8, 22 πρὸς τὰς ἔνδον ναῦς προσέμιξαν.

